θην. Καὶ τῦ μέμνημαι, ἐμνήσθην, προσλαμβάνοντος τὸ σ. ϗ σέσωσμαι, ἐσώθην, ἀποβάλλοντος αὐτό. τὸ δὲ ἐῤῥώσθην, ἐκ ἀπὸ τῦ ῥῶ, ἀλλ᾽ ἀπὸ τῦ ῥώζω, ϗ πλὴν τῦ σχῶ, σχήσω, ἔσχηκα, ἔσχημαι, ἐσχέθην. Καὶ τῶν ἀπὸ τῦ αἱρῶ περισπωμένων. οἷον, καθῄρημαι, καθῃρέθην. ἀφῄρημαι, ἀφῃρέθην.

§. τλβ΄. Καὶ πλὴν τῶν ἐχόντων τὸ ρ, μετ᾽ ἐπιπλοκῆς Συμφώνε, ϗ τρεπόντων τὸ ε, εἰς α, ἐν τῷ Παθητικῷ Παρακειμένῳ, οἷον, ἔσραμμαι, ἐσρέφθην. Τέτραμμαι, ἐτρέφθην.

Παθητ. Δεύτερος Ἀόριςος.

§. τλγ΄. Ὁ Παθητικὸς Δεύτερος Ἀόριςος, ἀπὸ τῦ Ἐνεργητικῦ Δευτέρε Ἀορίςε. τροπῇ τῦ ον, εἰς ην. Ὅθεν ϗ τὸ ἐκείνε φυλάττει Σύμφωνον. οἷον, ἔτυπον, ἐτύπην.

Μέσος Ἀόριςος Πρῶτος.

§. τλδ΄. Ὁ Μέσος Πρῶτος Ἀόριςος, ἀπὸ τοῦ Ἐνεργητικῦ Πρώτε, προσθέσει τῦ μην. οἷον, ἔτυψα, ἐτυψάμην.

Μέσος Ἀόριςος δεύτερος.

§. τλέ. Ὁ Μέσος Ἀόριςος δεύτερος, ἀπὸ τῦ Ἐνεργητικῦ δευτέρε, παρενθέσει τῦ μη. οἷον, ἔτυπον, ἐτυπόμην.

Μέσος Μέλλων Πρῶτος.

§. Ὁ Μέσος Μέλλων πρῶτος, ἀπὸ τῦ Ἐνεργητικῦ, τροπῇ τῦ ω μεγάλε, εἰς ο μικρὸν, ϗ προσθέσει τῦ μαι. οἷον, τύψω, τύψομαι.